# TEZAUR LITURGIC

## 18 MAI
## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.MUCENIC HERACLIE DE LA TROADA

ATENA,2015


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 18 ΜΑΪΟΣ ΗΡΑΚΛΕΙΟΣ ΜΑΡΤΥΣ & ΣΥΝ ΑΥΤῼ ΕΠΤΑ ΜΑΡΤΥΡΩΝ ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τῆς εὐσεβείας τοῖς ἔργοις κατακοσμούμενος, ἐνήθλησας νομίμως, δι' ἀγάπην Κυρίου, Ἡράκλειε θεόφρον καὶ τοῦ ἐχθροῦ, τὴν ὀφρὺν καταβέβληκας· διὸ ἐδέξω ἀξίως παρὰ Χριστοῦ, ἀφθαρσίας τὸ διάδημα.

Ἀπεριτρέπτῳ καρδίᾳ Μάρτυς Ἡράκλειε, ὡμίλησας αἰκίαις, καὶ πικραῖς τιμωρίαις, καὶ ἔδειξας τοῖς πᾶσι τὴν τοῦ Χριστοῦ, ἐν σοὶ χάριν καὶ δύναμιν, καὶ ἐκτμηθεὶς τὸν αὐχένα πρὸς τὴν ζωήν, τὴν οὐράνιον ἀνέδραμες.

Ἐξ Ἀθηνῶν ἀνατείλας ὡς ἄστρον ἄδυτον, ἀθλήσει καταυγάζεις, τῶν πιστῶν τὰς καρδίας, Ἡράκλειε θεόφρον· ἐντεῦθεν ἐν σοί, καυχωμένη γεραίρει σε, ἡ τὴν ἁγίαν σου κλῆσιν καὶ ἱεράν, πόλις αὕτη Μάρτυς φέρουσα.

Ὑπὲρ Χριστοῦ ἐναθλήσας στεῤῥῶς Ἡράκλειε, σὺν τῷ Διονυσίῳ, Βενεδίμῳ καὶ Πέτρῳ, Χριστίνῃ καὶ Ἀνδρέᾳ

καὶ Παύλῳ ὁμοῦ, καὶ Παυλίνῳ καθεἵλετε, τὴν τοῦ ἐχθροῦ δυναστείαν καὶ τοῖς χοροῖς, τῶν Ἀγγέλων ἠριθμήθητε.

*Δόξα. Ἦχος β΄.*

Τὴν τῶν Μαρτύρων ὀκτάριθμον χορείαν, φιλομαρτύρων οἱ δῆμοι τιμήσωμεν, Χριστὸν δοξάζοντες· ἐν αὐτοῖς γὰρ Ἡράκλειος, διαλάμπει ὁ θαυμάσιος, μεθ' ὧν καὶ συνήθλησεν, ὁμοφώνῳ γνώμῃ ὑπεριδὼν τὰ σφαλλόμενα· καὶ νῦν Ἀγγέλοις συνόντες, Κυρίῳ πρεσβεύουσιν, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Χαίροις τῶν Ἀθηνῶν, βλαστὸς ἠγλαϊσμένος, Ἡράκλειε τρισμάκαρ, καὶ θεῖος ἀντιλήπτωρ, τῆς Ἡρακλείου πόλεως.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Ἤθλησας ἀνδρικῶς, σὺν τοῖς συναθληταῖς σου, Ἡράκλειε θεόφρον, μεθ' ὧν ἀεὶ δυσώπει, ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμαστώσεν ὁ Κύριος.*

Κλήσει σου τῇ σεπτῇ, ἡ πόλις αὕτη Μάρτυς, λαμπρῶς σεμνυνομένη, Ἡράκλειε γεραίρει, τὴν φωτοφόρον μνήμην σου.

*Δόξα. Τριαδικόν.*

Σύστημα Ἀθλητῶν, Τριὰς ὑπεραγία, τῇ θείᾳ Σου δυνάμει, κατήσχυνε τὴν πλάνην, καὶ ἄθλοις Σε ἐδόξασε.

*Καὶ νῦν. Θεοτοκίον.*

Πάναγνε Μαριάμ, τῷ φίλτρῳ τοῦ Υἱοῦ Σου, ἐνήθλησαν ἀνδρείως, οἱ Μάρτυρες οἱ θεῖοι, κηρύττοντες τὴν δόξαν Σου.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Τοῦ Ἁγίου Ἡρακλείου. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἰσχὺν ἐνδυσάμενος τὴν θεϊκὴν Ἀθλητά, ἀνδρείως ἐνήθλησας, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, Ἡράκλειε ἔνδοξε· ὅθεν ταύτην τὴν πόλιν, τὴν πιστῶς σε τιμῶσαν, φύλαττε πάσης βλάβης, ὡς αὐτῆς πολιοῦχος, πρεσβεύων ὑπὲρ πάντων, ἡμῶν τῶν εὐφημούντων σε.

*Δόξα. Τῶν Ὀκτὼ Μαρτύρων. Ὁ αὐτός. Ὁ ὑψωθείς.*

Τῶν Ἀθλοφόρων τὸν ὀκτάριθμον δῆμον, μαρτυρικοῖς ἐγκωμιάσωμεν ὕμνοις, Παυλῖνον Διονύσιον καὶ Πέτρον ὁμοῦ, Ἀνδρέαν καὶ Βενέδιμον, τὸν θεόφρονα Παῦλον, Ἡράκλειον τὸν ἔνδοξον, καὶ Χριστίναν τὴν θείαν· οὗτοι καὶ γὰρ πρεσβεύουσιν ἀεί, ὑπὲρ τοῦ κόσμου, Χριστῷ τῷ Θεῷ ἡμῶν.

*Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα*, ἱστῶμεν στίχους στ᾽ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ὀκτάριθμον σύστημα κλεινῶν, Ἀθλητῶν ὑμνήσωμεν, μαρτυρικοῖς μελῳδήμασι, θεῖον Ἡράκλειον, Βενέδιμον Πέτρον, Παῦλον Διονύσιον, Ἀνδρέαν καὶ Παυλῖνον, τὴν πάνσεμνον, Χριστίναν μέλποντες· τῷ Σωτῆρι γὰρ πρεσβεύουσιν, ἡμῖν δοῦναι, πταισμάτων συγχώρησιν.

Ἐκ πόλεως τῆς τῶν Ἀθηνῶν, ὥσπερ ἄνθος εὔοσμον, Μάρτυς Ἡράκλειε ἤνθησας, καὶ κόσμῳ ἔπνευσας, θείαν εὐωδίαν, ἐναθλήσας ἄριστα· διό σε ὡς θερμὸν ἀντιλήπτορα, καὶ θεῖον ἔφορον, εὐφημοῦμεν καὶ βοῶμέν σοι· ἡμᾶς ῥύου, πάσης περιστάσεως.

Ὑμνοῦντες τὴν ἄθλησιν τὴν σήν, Ἀθλητὰ Ἡράκλειε, σὲ πολιοῦχον καὶ ἔφορον, ἐπιγραφόμεθα, ἡ παροῦσα πόλις, ἡ τῇ θείᾳ κλήσει σου, λαμπρῶς σεμνυνόμενη, καὶ κράζει σοι· ἀπαύστως πρέσβευε, σὺν τοῖς θείοις σου συμμάρτυσιν, ἡμᾶς πάσης, ἐκλυτροῦσθαι θλίψεως.

*Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Ὡς τὴν ἄνωθεν δύναμιν, δεδεγμένος Ἡράκλειε, τοῦ ἐχθροῦ κατήσχυνας τὰ βουλεύματα, καὶ διὰ πόνων ἀθλήσεως, Χριστὸν ἐμεγάλυνας, σὺν τοῖς σοῖς συναθληταῖς, μεθ᾽ ὧν πρέσβευε Ἅγιε, δοῦναι ἅπασι,

τοῖς τελοῦσι τὴν μνήμην σου τὴν θείαν, ἱλασμὸν ἁμαρτημάτων, καὶ πειρασμῶν ἀπολύτρωσιν.

Ὡς θεόλεκτον σύστημα, ὁμοφρόνως ἠθλήσατε, συμφωνίᾳ πίστεως ἀριστεύσαντες, Μεγαλομάρτυς Ἡράκλειε, τρωθεὶς θείῳ ἔρωτι, σὺν τοῖς σοῖς συναθληταῖς, καὶ ἐχθρῶν διωλέσατε, τὰ συστήματα, καὶ Ἀγγέλων συνήφθητε χορείαις, ἱκετεύοντες ἀπαύστως, ὑπὲρ ἡμῶν τὸν Φιλάνθρωπον.

Ὡς βλαστὸν ἐνθεώτατον, Ἀθηνῶν εὐφημοῦμέν σε, Ἀθλητὰ Ἡράκλειε θείοις ᾄσμασι, καὶ ὡς προστάτην καὶ ἔφορον, Ἡρακλείου πόλεως, οὔσης ἐν τῇ Ἀττικῇ, τῆς τιμώσης τὴν μνήμην σου, καὶ βοώσης σοι· παῤῥησίαν ὡς ἔχων τῷ Κυρίῳ, καθικέτευε ἀπαύστως, πάσης ῥυσθῆναί με θλίψεως.

*Δόξα. Ἦχος πλ. β΄.*

Ὑπελθὼν εὐσεβείας τὸν ἀγῶνα, μαρτυρικῶς ἠγωνίσω, σεαυτὸν ἀρνησάμενος, Ἀθλοφόρε Ἡράκλειε· τὸν γὰρ Σωτῆρα Χριστόν, εὐτόνως ὁμολογῶν, ὑπερεῖδες σαρκὸς καὶ αἵματος, καὶ πικρῶν τιμωριῶν ἀνώτερος ὤφθης, ἐν τῇ ἑνώσει τοῦ κρείττονος· καὶ ἀξίως δοξασθεὶς σὺν τοῖς σοῖ συνάθλοις, πρέσβευε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. γ΄ 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν

ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.(Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Ἀθηναίων ἡ περίδοξος πόλις, τοῖς σοῖς σπαργάνοις ἐγκαυχᾶται, καὶ τὴν σεπτήν σου ἄθλησιν γεραίρει, Ἀθλοφόρε Ἡράκλειε· ἐξαιρέτως δὲ Ἅγιε, ἡ τῇ σῇ

προσηγορίᾳ κεκλημένη πόλις σου, πολιοῦχόν σε ἐπιγράφουσα, καὶ πρὸς Χριστὸν πρεσβευτὴν θερμότατον· ᾗ πάντοτε ἐξαίτει, θεϊκῶν οἰκτιρμῶν δωρεάς, καὶ κινδύνων ἀπολύτρωσιν.

*Ἦχος β΄.*

Μαρτυρικὴν ἐπιδειξάμενος ἔνστασιν, τυραννικὴν ὀφρὺν ἐξεφαύλισας, τῇ σῇ λαμπρᾷ ὁμολογίᾳ, Ἀθλοφόρε Ἡράκλειε· καὶ στεῤῥοτάτῃ καρδίᾳ, πᾶσαν ποινὴν ἐνεγκών, τῆς ἀληθείας τὸ κράτος ὑπέδειξας, ἐν ἀσθενείᾳ φύσεως· τῇ γὰρ ἄνωθεν ῥοπῇ, τὸν ἰσχυρὸν ἐν κακίᾳ κατεπάλαισας· καὶ τρόπαιον νίκης ἔγειρας, σὺν τοῖς σοῖς συναθληταῖς, οὐρανίων ἠξιώθης ἀμοιβῶν· μεθ’ ὧν ἱκέτευε δεόεμθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος γ΄.*

Ἀνδρικῶς παραταξάμενος, κατὰ τῆς δυσσεβείας, καὶ τῶν ἀντικειμένων τὰς τάξεις διώλεσας, ἀθλητικοῖς σου πόνοις, Μεγαλομάρτυς Ἡράκλειε· τῆς γὰρ Χριστοῦ οἰκονομίας τὸ μυστήριον ἐκήρυξας, καὶ τοῖς σοῖς ἀγῶσιν ἐδόξασας, ὑπερφυῶς ἀγωνισάμενος· ἔνθεν κατ’ ἀξίαν δεδόξασαι, ὡς τοῦ Σωτῆρος στρατιώτης περίδοξος, καὶ ὁπλίτης ἀήττητος μακάριε· διὸ ἑορτάζομεν, τὴν ἁγίαν μνήμην σου.

*Ἦχος δ΄.*

Τὴν ὀκτάριθμον χορείαν, τῶν Ἀθλοφόρων τοῦ Χριστοῦ, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν· χαίρετε, βοῶντες, Ἡράκλειε Παυλῖνε καὶ Βενέδιμε, τῶν Ἀθηνῶν βλαστήματα, τοῦ Εὐαγγελίου κήρυκες, καὶ Μάρτυρες Χριστοῦ ἀήττητοι· χαίρετε, Πέτρε καὶ

Ἀνδρέα, Διονύσιε καὶ Παῦλε, οἱ τὸν Σωτῆρα ἀθλητικῶς δοξάσαντες· χαίροις, παρθενίας ἄνθος, καὶ νύμφη Χριστοῦ ἄμωμε, παρθενομάρτυς Χριστίνα. Ἀλλ' ὦ Μάρτυρες Χριστοῦ πολύαθλοι, Ἀγγέλων συμπολῖται, σὺν αὐτοῖς πρεσβεύετε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ὁ αὐτός.*

Τὸν Ἀθλοφόρον τοῦ Χριστοῦ, Ἡράκλειον τὸν μεγαλώνυμον, τὸν ἐν τῇ ἑπταρίθμῳ χορείᾳ ἐκλάμποντα, ἀθλητικοῖς ἐπαίνοις ἀνευφημήσωμεν· στρατευσάμενος γὰρ Χριστῷ, τοῖς ὅπλοις τοῦ φωτὸς ἠρίστευσε, καὶ τὸν ἄρχοντα τοῦ σκότους ἐτροπώσατο, ὡς καλὸς στρατιώτης, τοῦ οὐρανίου Βασιλέως· καὶ νικητικοῖς διαδήμασι κοσμηθείς, πρεσβεύει ἀπαύστως μετὰ τῶν αὐτοῦ συναθλητῶν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Στόματι κηρύττων ἱερῷ, τοῦ Εὐαγγελίου τὸν λόγον, Μάρτυς Ἡράκλειε, πᾶσαν ἐστηλίτευσας, ἀπάτην Ἅγιε, τῶν εἰδώλων καὶ ἤνυσας, ἀτρέπτῳ καρδίᾳ, δρόμον τῆς ἀθλήσεως, τὸν ἐνθεώτατον· ὅθεν, οὐρανίων ἐπάθλων, παρὰ τοῦ Χριστοῦ ἠξιώθης, καὶ Ἀγγέλων γέγονας συμμέτοχος.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Δῆμον Ἀθλοφόρων θαυμαστῶν, ἔχων συναθλοῦντα προθύμως, Μάρτυς Ἡράκλειε, σὺν αὐτοῖς ἠρίστευσας, καὶ καταβέβληκας, τὸν πολέμιον δράκοντα,

φρονήματι θείῳ, ἔχων συνεργοῦσάν σοι, Χριστοῦ τὴν δύναμιν· ὅθεν, τὴν σεπτὴν ὑμῶν μνήμην, ἄγοντες ὁπλῖται Κυρίου, τοὺς ὑμῶν ἀγῶνας μακαρίζομεν.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμαστώσεν ὁ Κύριος.*

Χαίρει, ἡ τῇ κλήσει σου σοφέ, ἐν τῇ Ἀττικῇ καυχωμένη, πόλις Ἡράκλειε, καὶ τὴν θείαν μνήμην σου πανηγυρίζουσα, τῇ θερμῇ ἀντιλήψει σου, προστρέχει βοῶσα· σκέπη ἔσο πάντοτε, ταύτῃ τῇ πόλει σου, οἷα, βοηθὸς ἡμῶν θεῖος, καὶ πρὸς τὸν Σωτῆρα μεσίτης, καὶ πρέσβυς ἑκάστοτε θερμότατος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τὸν ὀκτάριθμον χορόν, συμπληρῶν τῶν Μαρτύρων, τὸ τῆς Ἁγίας Τριάδος μυστήριον, σὺν αὐτοῖς κηρύττεις, Μάρτυς Ἡράκλειε ἀοίδιμε· καὶ τὸ πῦρ τῆς χάριτος ἐμφαίνων, ὑλικοῦ πυρὸς κατετόλμησας, καὶ αἱμάτων τοῖς ῥείθροις, τὴν φλόγα τῆς πλάνης κατέσβεσας, αἰτούμενος πᾶσιν ἱλασμόν, καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Τοῦ Ἁγίου Ἡρακλείου. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἰσχὺν ἐνδυσάμενος τὴν θεϊκὴν Ἀθλητά, ἀνδρείως ἐνήθλησας, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, Ἡράκλειε ἔνδοξε· ὅθεν ταύτην τὴν πόλιν, τὴν πιστῶς σε τιμῶσαν,

φύλαττε πάσης βλάβης, ὡς αὐτῆς πολιοῦχος, πρεσβεύων ὑπὲρ πάντων, ἡμῶν τῶν εὐφημούντων σε.

*Δόξα. Τῶν Ὀκτὼ Μαρτύρων. Ὁ αὐτός. Ὁ ὑψωθείς.*

Τῶν Ἀθλοφόρων τὸν ὀκτάριθμον δῆμον, μαρτυρικοῖς ἐγκωμιάσωμεν ὕμνοις, Παυλῖνον Διονύσιον καὶ Πέτρον ὁμοῦ, Ἀνδρέαν καὶ Βενέδιμον, τὸν θεόφρονα Παῦλον, Ἡράκλειον τὸν ἔνδοξον, καὶ Χριστίναν τὴν θείαν· οὗτοι καὶ γὰρ πρεσβεύουσιν ἀεί, ὑπὲρ τοῦ κόσμου, Χριστῷ τῷ Θεῷ ἡμῶν.

*Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α᾽ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ὡς Μάρτυρα Χριστοῦ, καὶ γενναῖον ὁπλίτην, Ἡράκλειε σοφέ, εὐφημοῦμέν σε ὕμνοις, νομίμως γὰρ ἠγώνισαι, καὶ Ἀγγέλων συνόμιλος, ὤφθης Ἅγιε, μεθ᾽ ὧν δυσώπει ἀπαύστως, δοῦναι ἄφεσιν, τοῖς ἑορτάζουσι πόθῳ, τὴν πάνσεπτον μνήμην σου.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὴν β᾽ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Θείας πίστεως, ἀνακηρύττων, τὴν ἀλήθειαν, τοῖς ἐν τῇ πλάνῃ, μαρτυρίου τὸν ἀγῶνα διήνυσας, καὶ ἀφθαρσίας τὸ γέρας Ἡράκλειε, σὺν τοῖς συνάθλοις

ἀξίως ἀπείληφας· μεθ’ ὧν πρέσβευε, Κυρίῳ τῷ σὲ δοξάσαντι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Εὐσεβείας τοῖς τρόποις ἀνδραγαθῶν, καὶ τῆς πλάνης τὸν ζόφον ἀπομειῶν, ὑπῆλθες στεῤῥότατα, μαρτυρίου τὰ σκάμματα, καὶ τοῦ ἐχθροῦ καθεῖλες, τὴν ἔπαρσιν Ἅγιε, Χριστὸν ὁμολογήσας, Θεὸν παντοδύναμον· ὅθεν καὶ τῷ ξίφει, ἐκτμηθεὶς τὸν αὐχένα, ζωὴν πρὸς οὐράνιον, ἐν χαρᾷ ἀνελήλυθας, Ἀθλοφόρε Ἡράκλειε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμαστώσεν ὁ Κύριος.*

Εὐαγγέλιον μαρτυρικόν.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Τῇ μαρτυρικῇ λελαμπρυσμένος δόξῃ, τῷ Βασιλεῖ τῶν ἁπάντων παρίστασαι, σὺν Ἀσωμάτων δήμοις, Ἀθλοφόρε Ἡράκλειε· καὶ τῶν ὑπὲρ λόγον ἐντρυφῶν ἐλλάμψεων, σκοτασμοῦ ἁμαρτίας ἀπάλλαξον, ταῖς φωτοφόροις πρεσβείαις σου, τοὺς εἰλικρινῶς σε γεραίροντας.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Τῷ Ἀθλητῇ Ἡρακλείῳ ὕμνος. Γερασίμου.*

*ᾨδὴ α΄. Ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος.*

Ταῖς τοῦ Παρακλήτου ἀστραπαῖς, καταυγαζόμενος Μάρτυς Ἡράκλειε, φωτισμόν μοι αἴτησαι, ὅπως ὑμνήσω τοὺς θείους ἀγῶνάς σου, δι᾽ ὧν τὸν Σωτῆρα, τῶν ὅλων Μάρτυς ἐδόξασας.

Ὥσπερ ἀγλαόκαρπον βλαστόν, τῶν Ἀθηναίων ἡ πόλις προβάλλει σε, Ἀθλητὰ Ἡράκλειε, καρποφοροῦντα Μαρτύρων τὴν εὔκλειαν· ὅθεν καὶ γεραίρει, τὴν παναοίδιμον μνήμην σου.

Ἅπασαν τὴν αἴσθησιν σοφέ, τῇ πρὸς Χριστὸν ἀγαπήσει παρέδραμες, καὶ χαίρων ἐχώρησας, πρὸς μαρτυρίου Ἡράκλειε σκάμματα, θεϊκῇ δυνάμει, τὸ ἀσθενές σου ῥωννύμενος.

*Θεοτοκίον.*

Θρόνος ὑψηλότατος Θεοῦ, τοῦ σαρκωθέντος ἐκ μήτρας Σου πέφηνας· τοῦτον γὰρ πανάμωμε, ἐν ταῖς

ἀγκάλαις βαστάζεις ὡς νήπιον, τὸν διακρατοῦντα, πᾶσαν τὴν κτίσιν τῷ νεύματι.

*ᾨδὴ γ΄. Ὁ μόνος εἰδώς.*

Λαμπρύνας τὸν νοῦν σου τῷ φωτί, τῆς εὐσεβείας Ἅγιε, Εὐαγγελίου πᾶσιν Ἡράκλειε, τὸν θεῖον λόγον λαμπρῶς ἐκήρυξας, καὶ Χριστῷ ἐκραύγαζες· Ἅγιος εἶ Κύριε, ὁ ἀνείκαστος ἐν ἀγαθότητι.

Ἠγώνισαι γνώμῃ σταθερᾷ, κατὰ τοῦ πολεμήτορος, καὶ τὴν μανίαν αὐοτῦ κατήσχυνας, τῇ σῇ ἐνστάσει Μάρτυς Ἡράκλειε, καὶ Χριστὸν ἐδόξασας, θείοις σου παλαίσμασιν, ὡς αὐτοῦ στρατιώτης ἀήττητος.

Τὴν μνήμην σου Μάρτυς τὴν σεπτήν, λαμπροφανῶς γεραίρουσα, αὕτη ἡ πόλις σου μακαρίζει σε, καὶ πολιοῦχόν σε ἐπιγράφεται, ἣν ἀπαύστως φύλαττε, πάσης περιστάσεως, καὶ δεινῶν συμπτωμάτων Ἡράκλειε.

*Θεοτοκίον.*

Ἡ μόνη Θεὸν σωματικῶς, ὑπερφυῶς κυήσασα, καὶ μετὰ τόκον μείνασα ἄφθορος, ὡς ᾖς πρὸ τόκου Παρθένε ἄχραντε, τὴν ψυχήν μου κάθαρον, ἐκ πάσης φαυλότητος, καὶ δεινῶν ἐννοιῶν τοῦ ἀλάστορος.

*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τῇ ἀθλήσει σου Μάρτυς Χριστοῦ τὴν δύναμιν, ἐφανέρωσας πᾶσι καὶ καταβέβληκας, τοῦ ἐχθροῦ τοῦ δυσμενοῦς τὰ πανουργεύματα, καὶ οὐρανίων ἀμοιβῶν,

ἠξιώθης ἀληθῶς, τελέσας σου τὸν ἀγῶνα, Ἡράκλειε Ἀθλοφόρε, σὺν τοῖς κλεινοῖς συναθλοφόροις σου.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*ᾨδὴ δ΄. Ὄρος σε τῇ χάριτι.*

Ἤθλησας στεῤῥότατα, ἀνδρείῳ φρονήματι, καὶ κατεπάλαισας ἐχθροῦ, τὰς παρατάξεις Ἀθλητά· ποινῶν γὰρ ἀνώτερος, καὶ ῥαβδισμῶν ἀνεδείχθης Ἡράκλειε, Χριστοῦ ὁρῶν νοερῶς τὴν λαμπρότητα.

Ῥωννύμενος χάριτι, τῇ θείᾳ Ἡράκλειε, ὥσπερ τρυφὰς τὰς χαλεπάς, τῷ σώματί σου ἀληθῶς, στρεβλώσεις λελόγισαι, Χριστὸν ὑμνῶν τὸν ἰσχύν σοι παρέχοντα, ὡς στρατιώτης αὐτοῦ ἀκαθαίρετος.

Ἁγίων συνέλευσις, Μαρτύρων ὑμνείσθω μοι, Ἡράκλειος ὁ θαυμαστός, Πέτρος καὶ Παῦλος οἱ στεῤῥοί, ὁμοῦ Διονύσιος, σὺν Βενεδίμῳ Παυλῖνος τοῖς ᾄσμασι, καὶ ἡ παρθένος Χριστίνα ἡ σύναθλος.

*Θεοτοκίον.*

Κῆπος εὐωδέστατος, λειμών τε μυρίπνοος, τῆς παρθενίας ἀληθῶς, καὶ ἀρετῶν ὑπερφυῶν, ἐδείχθης πανάμωμε, καὶ ἀνηρότως Χριστὸν ἀνεβλάστησας, ζωῆς τῷ κόσμῳ ὀσμὴν διαπνέοντα.

*ᾨδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.*

Λαμπρυνόμενοι τῷ φέγγει τῆς ἀρίστης ἀθλήσεως, οὐκ ἐφλέχθητε ῥιφέντες τῷ πυρὶ ἀξιάγαστοι, Ἡράκλειε Βενέδιμε ὁμοῦ, Παυλῖνε δεδεγμένοι, τὴν θείαν δρόσον τοῦ Πνεύματος.

Ἐν ἀθλήσεως ἀγῶσι νικηφόροι γεγόνατε, Διονύσιε Χριστίνα Πέτρε Παῦλε μακάριε, καὶ Ἀνδρέα· ὅθεν πρὸς Χριστοῦ, εἰλήφατε ἀξίως, βραβεῖα νίκης γηθόμενοι.

Ἱλασμὸν ἡμῖν ἐξαίτει καὶ πταισμάτων συγχώρησιν, στρατιῶτα τοῦ Σωτῆρος Ἀθλοφόρε Ἡράκλειε, καὶ τῇ πόλει ταύτῃ ἐσαεί, δίδου τὴν ἀρωγήν σου, ὡς βοηθὸς αὐτῆς ἕτοιμος.

*Θεοτοκίον.*

Ὡς τῶν πάντων Βασιλέα ἀποῤῥήτως κυήσασα, τῶν Ἀγγέλων καὶ ἀνθρώπων ἀνεδείχθης Βασίλισσα, Θεοτόκε Δέσποινα· διό, τῆς ἄνω Βασιλείας, ἡμῖν τὰς πύλας ὑπάνοιξον.

*ᾨδὴ στ΄. Ἐκύκλωσεν ἡμᾶς.*

Ὑψώσας τῆς καρδίας σου τὸν ἔρωτα, πρὸς τὸν Χριστὸν Ἡράκλειε, τῶν ἐν κόσμῳ σφαλλομένων νουνεχῶς, γνώῃ θεολήπτῳ κατεφρόνησας, καὶ Ἀθλητῶν, πρὸς τοὺς ἀγῶνας Μάρτυς ἐχώρησας.

Μεγίστοις διαπρέπων προτερήμασιν, ὡς δοῦλος γνησιώτατος, τοῦ τῶν ὅλων Βασιλέως καὶ Θεοῦ, ἤνυσας ἀθλήσεως τὸ στάδιον, γνώμῃ στεῤῥᾷ, Μάρτυς Ἡράκλειε παμμακάριστε.

Ναμάτων μυστικῶν Μάρτυς πληρούμενος, σταγόνα θείας χάριτος, ἐπόμβρησον Ἡράκλειε ἡμῖν, καὶ τῇ πόλει ταύτῃ τῇ τιμώσῃ σε, αἴτει ἀεί, εἰρήνην καὶ θείαν χρηστότητα.

*Θεοτοκίον.*

Ὁλόφωτον παλάτιον πανάχραντε, Χριστοῦ τοῦ παντοκράτορος, τὴν καρδίαν μου δοχεῖον τῆς Αὐτοῦ, δεῖξον ἐνεργείας ἱκετεύω Σε· Σὺ γὰρ ἰσχύς, τῶν πεπτωκότων καὶ ἐπανόρθωσις.

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Μαρτυρίου σκάμμασιν, ἀνδραγαθήσας, Ἀθλητὰ Ἡράκλειε, σὺν ἑπταρίθμοις Ἀθληταῖς, ὑπὲρ ἡμῶν καθικέτευε, τῶν ἐκτελούντων, τὴν πάνσεπτον μνήμην σου.

*Ὁ Οἶκος.*

Εὐσεβείας ἐμπρέπων ταῖς πράξεσιν, μαρτυρίου ὑπῆλθες τὰ σκάμματα, ἀπεριτρέπτῳ λογισμῷ, ἀνακηρύξας τοῦ Χριστοῦ, τὴν σάρκωσιν τὴν θείαν· τούτου γὰρ πτερωθεὶς τῇ ἀγάπῃ, σαρκὸς ἠλόγησας φθειρομένης, καὶ βασάνων καὶ ποινῶν κατατολμήσας Ἡράκλειε, καὶ πυρὸς μὴ δείσας τὴν δριμύτητα, τῆς δυσσεβείας τὴν ὕλην ἔφλεξας, τοῖς ἄνθραξι τῶν ἄθλων σου, καὶ νικηφόρος Χριστῷ ἀνέδραμες, σὺν τοῖς ἑπταρίθμοις συμμάρτυσι· μθε’ ὧν ἱκέτευε δεόμεθα, ὑπὲρ ἡμῶν τῶν ἐκτελούντων, τὴν πάνσεπτον μνήμην σου.

*Συναξάριον.*

Τη ΙΗ΄ τοῦ αὐτοῦ Μηνός, μνήμη τῶν Ἁγίων Μαρτύρων Ἡρακλείου, Πέτρου, Διονυσίου, Χριστίνης παρθένου, Ἀνδρέου, Παύλου, Βενεδίμου, καὶ Παυλίνου.

*Εἷς ἆθλος Ἡράκλειε σὸς πρὸς τὸ ξίφος,*
*ἄθλους καλύπτει τοὺς ὅλους Ἡρακλέους.*
*Βληθεὶς ὁ Πέτρος τῶν τροχαντήρων μέσον,*
*ζωῆς παρῆκε τοὺς τροχοὺς τῆς ἀστάτου.*
*Τρεῖς συντρίβουσι πίστεως στεῤῥους λίθους,*
*Παῦλον Διονύσιον Ἀνδρέαν λίθοις.*
*Ὁρῶν με Βενέδιμε τὸν σὸν Παυλῖνον,*
*τμηθέντα συντμήθητι φησὶ Παυλῖνος.*
*Χριστῷ παρέστης ἠγλαϊσμένη ὅλη,*
*αἵμασι τοῖς σοῖς παρθενικὴ Χριστίνα.*
*Ὀγδοὰς Ἀθλοφόρων ἐκ γαίης εἰς πόλον ἦρθη.*

*ᾨδὴ ζ΄. Σὲ νοητήν.*

Σῶμα τὸ σόν, αἰκισμοῖς ἐκδέδωκας, ὑπὲρ ἀγάπης τοῦ Χριστοῦ, καὶ τὸ κάλλος τὸ ἑαυτοῦ, ἀκλινῶς φαντάζεσθαι τὴν ψυχὴν ἐπτέρωσας, ἀνακραυγάζων Ἡράκλειε· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Γέρας ζωῆς, αἰωνίου εἴληφας, Ἡράκλειε παρὰ Χριστοῦ, τῶν γηΐνων ὡς ἀποστάς, καὶ ἀθλήσας ἄριστα, γνώμῃ οὐρανόφρονι, ἀνακραυγάζων μακάριε· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ἐν τῷ πυρί, ἄφλεκτος διέμεινας, δρόσῳ τῆς ἄνωθεν ῥοπῆς, καὶ ἀγώνων σου τῷ πυρί, τῶν εἰδώλων ἔφλεξας, τὴν ἀπάτην ἅπασαν, καταπυρσεύων τοῖς ἄθλοις σου, Ἡράκλειε τὰς καρδίας, τῶν εὐσεβῶς τιμώντων σε.

*Θεοτοκίον.*

Ῥῦσαι ἁγνή, τῆς παθῶν ὀχλήσεως, καρδίαν μου τὴν ῥυπαράν, καὶ κατάβαλε τοῦ ἐχθροῦ, τὴν κακίαν Δέσποινα, ἐφορμῶντος πάντοτε, καταπιεῖν με τὸν δείλαιον· Σὺ γὰρ θερμή μου προστάτις, καὶ μέγα καταφύγιον.

*ᾨδὴ η΄. Ἐν καμίνῳ παῖδες.*

Ἀθλητὴς Χριστοῦ περιφανής, Ἡράκλειε ἐδείχθης, καὶ πρόμαχος εὐσεβείας, καὶ προστάτης ἀληθής, καὶ μέγα προπύργιον, τῶν ὑμνούντων τὴν ἄθλησίν σου Μάρτυς, καὶ ὑπερυψούντων, Χριστὸν τὸν ἀθλοθέτην.

Σὲ προστάτην καὶ καταφυγήν, ἡ πόλις Ἡρακλείου, Ἡράκλειε κεκτημένη, εὀρτάζει εὐλαβῶς, τὴν μνήμην σου ψάλλουσα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἱεραῖς ὑμνήσωμεν φωναῖς, Ἡράκλειον τὸν μέγαν σὺν αὐτῷ δὲ καὶ τοὺς λοιπούς, ἑπταρίθμους Ἀθλητάς, βοῶντες καὶ λέγοντες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Μὴ φλεχθεῖσα Κόρη τῷ πυρί, θεότητος τῆς ἀστέκτου, ἐκύησας ἀποῤῥήτως, τὸν Σωτῆρα τοῦ παντός, σῴζοντα τοὺς κράζοντας· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Τύπον τῆς ἁγνῆς.*

Ὄμβροις μυστικοῖς κατάσβεσον, τῶν πειρασμῶν τὴν φλόγα Μάρτυς Ἡράκλειε, τῶν προστάτην σε, καταπλουτούντων καὶ ἔφορον, καὶ παράσχου ταῖς σαῖς παρακλήσεσι, πρὸς τὸν Δεσπότην πάντων, ἡμῖν πταισμάτων τὴν συγχώρησιν.

Ὅρμῳ νοητῷ προσώρμησαι, ὡς διαπλεύσας Μάρτυς βίου τὴν θάλασσαν, καὶ μετέσχηκας, τῆς ὑπὲρ νοῦν ἀναπαύσεως, καὶ γαλήνης Ἡράκλειε κρείττονος· διὸ καὶ ἡμᾶς ῥῦσαι, τῶν ἐν τῷ βίῳ περιστάσεων.

Ὕψους ἐπιβὰς Ἡράκλειε, τῆς θεϊκῆς εὐκλείας καὶ ὡραιότητος, ἐκτελέσας σου, τὸν ἀγῶνα τὸν κάλλιστον, ἐθεώθης μεθέξει τῇ κρείττονι· διό σε δυσωποῦμεν, ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε.

*Θεοτοκίον.*

Ὕψος τοῦ ἀῤῥήτου τόκου Σου, πᾶσα πνοὴ δοξάζει πιστῶς πανύμνητε· Σὺ γὰρ ἔτεκες, τὸν Βασιλέα καὶ Κύριον, τῆς ἀρχαίας κατάρας λυτρούμενον, δι᾽ ἄκραν εὐσπλαγχνίαν, τοὺς Θεοτόκον Σε κηρύττοντας.

*Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Τὸ τοῦ Σωτῆρος ὄνομα, τοῖς ἐν πλάνῃ κηρύττων, πρὸς μαρτυρίου σκάμματα, προσεχώρησας χαίρων, Ἡράκλειε Ἀθλοφόρε, παριδὼν τὰς αἰκίας, καὶ ἐκτμηθεὶς τὴν κάραν σου, τὴν ὀφρὺν καταβέβληκας τοῦ ἐχθροῦ, καὶ Χριστῷ ἀνέδραμες νικηφόρος, ὑπὲρ ἡμῶν δεόμενος, τῶν τιμώντων σε πόθῳ.

*Καὶ τὸ τῆς Ἑορτῆς.*

*Αἶνοι. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.*

Πανεύφημε Μάρτυς τοῦ Χριστοῦ, Ἀθλητὰ Ἡράκλειε, ἐνδεδυμένος τὴν ἄνωθεν, ἰσχὺν καὶ δύναμιν, ἐν πίστει τελείᾳ, ἐχθρῶν τὴν παράταξιν, ἀθλήσεως ἀγῶσι κατέβαλες, καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος

Πυρὸς ἰσχυρότερος φανείς, Ἀθλητὰ Ἡράκλειε, δρόσῳ τοῦ Πνεύματος Ἅγιε, ἄφλεκτος ἔμεινας, ῥιφεὶς ἐν καμίνῳ, καὶ πυρὶ τῆς πίστεως, ἐνέπρησας ἐχθρῶν τὰ βουλεύματα· διὸ αἰτοῦμέν σε· τῶν παθῶν ἡμῶν κατάφλεξον, τὰς ἀκάνθας, πρεσβειῶν σου ἄνθραξι.

Προστάτην καὶ θεῖον ἀρωγόν, Ἀθλητὰ Ἡράκλειε, καὶ πολιοῦχόν σε κέκτηται, ἡ τῷ ὀνόματι, τῷ σῷ τιμωμένη, πόλις αὕτη Ἅγιε, καὶ πᾶσαν Ἀττικὴν εὐφημεῖσαί σε, καλεῖται σήμερον, ἑορτάζουσα τὴν μνήμην σου, καὶ ὑμνοῦσα, τὸν σὲ θαυμαστώσαντα.

Τὸ στάδιον ἤνυσας καλῶς, τῆς στεῤῥᾶς ἀθλήσεως, Μεγαλομάρτυς Ἡράκλειε, καὶ τὸν αὐχένα σου, ἐκτμηθεὶς τῷ ξίφει, τοῦ ἐχθροῦ συνέκοψας, ἁπάσας νοουμένου τὰς φάλαγγας, καὶ νίκης στέφανον, ἐκ χειρὸς τοῦ Παντοκράτορος, ἐκομίσω, ὡς Μάρτυς ἀήττητος.

*Δόξα. Ἦχος πλ. α΄.*

Ἀθλητικῇ ἐνστάσει, τῆς εὐσεβείας τὸ μέγα μυστήριον, σαφῶς ἐτράνωσας, Ἀθλητὰ Ἡράκλειε· μαρτυρικαῖς γὰρ ἀριστείαις, τὴν κεκρυμμένην ἐν σοὶ χάριν ἐκφαίνων, ὥσπερ ἄλλου πάσχοντος, ἐν ταῖς βασάνοις διέκεισο· καὶ νομίμως ἀγωνισάμενος,

οὐρανίων ἐπάθλων, κληρονόμος ἐγένου· διὸ δυσωποῦμέν σε· ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις ὦ πανθαύμαστε Ἀθλητά, Ἡράκλειε Μάρτυς, Ἀθηναίων εὖχος λαμπρόν· χαίροις πολιοῦχος, πόλεως Ἡρακλείου, ἐν Ἀττικῇ τῆς οὔσης, καὶ θεῖον σέμνωμα.

